πας Οἴμμοι οἴμμοι, ὅτι προσέθηκεν κύριος κόπον ἐπὶ πόνον μοι,
34 ἐκοιμήθην ἐν στεναγμοῖς, ἀνάπαυσιν οὐχ εὗρον, [34]εἰπὸν αὐτῷ Οὕ-
τως εἶπεν κύριος Ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα, ἐγὼ καθαιρῶ, καὶ
35 οὓς ἐγὼ ἐφύτευσα, ἐγὼ ἐκτίλλω· [35]καὶ σὺ ζητεῖς σεαυτῷ μεγάλα;
μὴ ζητήσῃς, ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶσαν σάρκα, λέγει
κύριος, καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρεμα ἐν παντὶ τόπῳ, οὗ
ἐὰν βαδίσῃς ἐκεῖ.

52 [1]Ὄντος εἰκοστοῦ καὶ ἑνὸς ἔτους Σεδεκιου ἐν τῷ βασιλεύειν αὐ-
τόν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μη-
4 τρὶ αὐτοῦ Αμιτααλ θυγάτηρ Ιερεμιου ἐκ Λοβενα, [4]καὶ ἐγένετο ἐν
τῷ ἔτει τῷ ἐνάτῳ τῆς βασιλείας αὐτοῦ ἐν μηνὶ τῷ δεκάτῳ δεκάτῃ
τοῦ μηνὸς ἦλθεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα
ἡ δύναμις αὐτοῦ ἐπὶ Ιερουσαλημ καὶ περιεχαράκωσαν αὐτὴν καὶ
5 περιῳκοδόμησαν αὐτὴν τετραπέδοις λίθοις κύκλῳ. [5]καὶ ἦλθεν ἡ
6 πόλις εἰς συνοχὴν ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ Σεδεκια· [6]ἐν
τῇ ἐνάτῃ τοῦ μηνὸς καὶ ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ
7 ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. [7]καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ
ἄνδρες οἱ πολεμισταὶ ἐξῆλθον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πύλης
ἀνὰ μέσον τοῦ τείχους καὶ τοῦ προτειχίσματος, ὃ ἦν κατὰ τὸν
κῆπον τοῦ βασιλέως, καὶ οἱ Χαλδαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ. καὶ
8 ἐπορεύθησαν ὁδὸν τὴν εἰς Αραβα, [8]καὶ κατεδίωξεν ἡ δύναμις τῶν
Χαλδαίων ὀπίσω τοῦ βασιλέως καὶ κατέλαβον αὐτὸν ἐν τῷ πέραν
9 Ιεριχω, καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ᾽ αὐτοῦ. [9]καὶ
συνέλαβον τὸν βασιλέα καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βαβυ-
10 λῶνος εἰς Δεβλαθα, καὶ ἐλάλησεν αὐτῷ μετὰ κρίσεως· [10]καὶ ἔ-
σφαξεν βασιλεὺς Βαβυλῶνος τοὺς υἱοὺς Σεδεκιου κατ᾽ ὀφθαλμοὺς
αὐτοῦ, καὶ πάντας τοὺς ἄρχοντας Ιουδα ἔσφαξεν ἐν Δεβλαθα·
11 [11]καὶ τοὺς ὀφθαλμοὺς Σεδεκιου ἐξετύφλωσεν καὶ ἔδησεν αὐτὸν ἐν
πέδαις, καὶ ἤγαγεν αὐτὸν βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα καὶ
ἔδωκεν αὐτὸν εἰς οἰκίαν μύλωνος ἕως ἡμέρας ἧς ἀπέθανεν.
12 [12]Καὶ ἐν μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς ἦλθεν Ναβουζαρδαν ὁ
ἀρχιμάγειρος ὁ ἑστηκὼς κατὰ πρόσωπον τοῦ βασιλέως Βαβυλῶνος

33 προσεθηκεν] + μοι A†, sed μοι seq. retinet A || 34 ειπον — ιδου] ουτως ειπον αυτω S(†) | εγω paenult. > SA || 35 ζητεις] -τησεις BA | μη ζητησης] > A†, μη ζητη σεαυτω μεγαλα μη ζητι S*†, μη ζητει *L* | εις > S

52 (= 𝔐 52, cf. Regn. IV 25) 1 εικ. και ενος] δευτερου και εικοστου A† | εν ιερουσ. > S† || 4 εν $1^0$ > BSpau. | μηνι] pr. τω A | δεκατω pl.] ενατω BS, εβδομω A† | περιεχαρακωσεν SA, περιωκοδομησεν A | τετραποδοις B*A | λιθοις pl.] > BSA || 6 εν τη $1^0$ > A || 7 του τειχους] της πυλης A† | κυκλω] εκυκλωσαν A† | επορ.] ωχοντο A | την ult. > S || 8 η > S† | κατελαβεν A || 10 βασ.] pr. ο S || 11 ημ. ης > A†, ης > S*† || 12 πεμπτω] pr. τω A; + και S*† | μηνος] + α(uel ο)υτος ενιαυτος εννεακαιδεκατος του ναβουχοδονοσορ βασιλεως βαβυλωνος $S^s$*L* (in *O* sub ※) | ο $2^0$ > B† | του ult. > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/750 UNIVERSITÄT LEIPZIG